τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυσγενείας μᾶλλον. ἡμεῖς γὰρ κακῶν
εἰς τοὔσχατον πεσόντες, ηὕρομεν φίλους
καὶ ξυγγενεῖς τούσδ', οἳ, τοσῆσδ' οἰκουμένης
Ἑλληνίδος γῆς, τῶνδε προὔστησαν μόνοι.
δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιὰν, δότε,
(ὑμεῖς τε παισὶ) καὶ πέλας προσέλθετε.
ὦ παῖδες, εἰς μὲν πεῖραν ἤλθομεν φίλων.
ἢν δ' οὖν ποθ' ὑμῖν νόστος εἰς πάτραν φανῇ,
καὶ δώματ' οἰκήσητε, καὶ τιμὰς πατρὸς,
σωτῆρας ἀεὶ καὶ φίλους νομίζετε.
καὶ μή ποτ' εἰς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ,
μεμνημένοι τῶνδ', ἀλλὰ φιλτάτην πόλιν
πασῶν νομίζετ'. ἄξιοι δ' ὑμῖν σέβειν,
οἳ γῆν τοσήνδε, καὶ Πελασγικὸν λεὼν,
ἡμῶν ἀπηλλάξαντο πολεμίους ἔχειν,
πτωχοὺς ἀλήτας εἰσορῶντες. ἀλλ' ὅμως
οὐκ ἐξέδωκαν, οὐδ' ἀπήλασαν χθονός.
ἐγὼ δὲ καὶ ζῶν, καὶ θανὼν, ὅτ' ἂν θάνω,
πολλῷ σ' ἐπαίνῳ Θησέως, ὦ τᾶν, πέλας,
ὑψηλὸν ἀρῶ, καὶ λέγων τάδ', εὐφρανῶ,
ὡς εὖ τ' ἐδέξω καὶ τέκνοισιν ἤρκεσας
τοῖς Ἡρακλείοις, εὐγενής τ' ἀν' Ἑλλάδα
σώζεις πατρῴαν δόξαν. ἐξ ἐσθλῶν δὲ φὺς,
οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρὸς,
παύρων μετ' ἄλλων. ἕνα γὰρ ἐν πολλοῖς ἴσως

303. ἡ ὑγένει'
305. εὕρομεν
307. προὔστησαν Ita semper in similibus.
310. ἔλθωμεν
311. ἡμῖν
313. αἰεὶ
316. ἄξιον γ' (sic) ὑμῖν
321. ὅταν θάνῃς,
322. ὦ τὰν
323. ὑψηλὸν αἴρω.
325. εὐγενὴς δ'